UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Zosimo Presbytero. 65.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

vitam exhibent, Deum, quantum in ipsis situm est, dedecore atque ignominia afficiunt. Dum enim, & diuina iussa aspernantur, & alios adducunt, vt eum blasphemis verbis lacessant, quem etiam benedicere non cuiuslibet est, verùm hominum summa virtute præditorum, hinc scilicet spurios sese atque adulterinos esse cōuincūt.

*Zosimo Presbytero. 65.*

Clamores eos, qui ob vitam tuam ab omnibus excitantur, ferre nequeo. Aiunt enim, sermonem in te, tanquam in album dirigentes, Quonam pacto aliis sanctitatē impertis, prophanus ipse ac nefarius? Quonam pacto alios purgas, qui impurus es? Quonam pacto filios Dei efficis, qui seruili animo es? Purgari priùs debes, atque ita purgare: priùs à sacrilegij crimine purum esse, ac tum sacerdotis munus subire. Hæc audiens, animi cruciatu afficior, tum quia hæc de te loquuntur, tum quia eos, qui ad diuinam religionem accedunt, in mysticis symbolis detrimentum perpeti arbitrantur. Desine itaque, non modò tuam animam, sed etiam multas alias, pro quibus Christus mortem oppetiit, demergere. Cogita quónam hoc malum tendat, cùm eos, quos ipse non auro, sed pretioso suo cruo-
1. pet. 1. re donato redemit, tu per vitæ tuæ improbitatem perdis.

*Epiphanio Diacono. 66.*

Quoniam per literas ex me sciscitatus es, quidnam significet id quod Psalmo 73. scriptum est, Tu siccasti fluuios Ethā (quod quidem cùm in veteribus Psalteriis situm sit, in quibusdam recentioribus codicibus, fortasse vt quod intelligi minimè posset, haudquaquam inscriptum est, eóque etiā nomine nonnulli superuacanea quædam, & quæ demonstrari nequeant, sacris literis contineri asserunt) ideirco rescribendū ad te duxi. Ethan igitur locus erat in Palæstina, fluuiis irriguus, atque arboribus & fructibus abundans, & ob ingentem animantium ac piscium copiam ad venandū

βαίνουσαν τῇ πίστει τὴν πολιτείαν ἐπιδείκνυσθαι, τόγε ἧκον εἰς αὐτοὺς, τὸν θεὸν ἀτιμάζοντες· τῷ τε γὰρ διαπτύειν τὰ παρ' αὐτοῦ κελευσθέντα, τῷ τε ἑτέρους παρασκευάζειν βλασφημεῖν τοῦτον, ὃν καὶ εὐλογεῖν οὐ πάντων ἐστὶν, ἀλλὰ τῶν ἄκρων εἰς ἀρετὴν, τύπων, νόθους ἑαυτοὺς ἀπελέγχουσι. τούτῳ

Ζωσίμῳ πρεσβυτέρῳ. ξε.

Οὐ φέρω τὴν διὰ τὸν σὸν βίον γινομένην παρὰ πάντων καταβοήν. φασὶ γὰρ εἰς σὲ ὥσπερ ἐπὶ σκοπὸν τὸν λόγον τείνοντες, πῶς ἄλλους ἁγιάζεις ὁ ἐναγής; πῶς καθαίρεις ὁ ἀκάθαρτος; πῶς υἱοὺς θεοῦ κατασκευάζεις ὁ δουλοπρεπής. καθαρθῆναι ὤφειλες, καὶ οὕτω καθᾶραι. μὴ ἱεροσυλεῖν, καὶ τότε ἱερᾶσθαι. ταῦτ' ἀκούων, ἀλγῶ τὴν ψυχὴν, ὅτι τε ταῦτα περὶ σοῦ φράζουσι, καὶ ὅτι καὶ εἰς τὰ μυστικὰ σύμβολα παραβλάπτεσθαι τοὺς προσιόντας τῇ θείᾳ θρησκείᾳ νομίζουσι. στῆθι τοίνυν καταποντίζων μὴ μόνον τὴν σαυτοῦ ψυχὴν, ἀλλὰ καὶ ἄλλας πολλὰς, ὑπὲρ ὧν ὁ Χριστὸς ἀπέθανεν. ἐννόησον γὰρ οἷ τείνει τὸ κακὸν, ὅταν οὓς αὐτὸς ἐξηγόρασεν οὐ χρυσίον, ἀλλὰ τὸ τίμιον ἑαυτοῦ αἷμα δεδωκὼς, σὺ διὰ τὸν σαυτοῦ βίον ἀπολέσῃς.

Ἐπιφανίῳ διακόνῳ. ξϛ.

Ἐπειδὴ γέγραφας τί ἐστι τὸ ἐν τῷ ογ' ψαλμῷ γεγραμμένον, σὺ ἐξήρανας ποταμοὺς ἠθάμ· ὅπερ ἐν τοῖς παλαιοῖς ψαλτηρίοις κείμενον, ἔν τισι τῶν νέων ὡς ἀπερινόητον ἴσως οὐκ ἐνεγράφη. διὸ καί τινες νομίζουσι περιττά τινα καὶ ἀναπόδεικτα ἐν ταῖς γραφαῖς γεγράφθαι, ἀντεπιστεῖλαι δίκαιον ᾠήθην. χῶρος ἦν ἐν τῇ Παλαιστίνῃ ποταμοῖς κατάρρυτος, καὶ δένδροις καὶ καρποῖς κατάκομος, ζώων τε πλήθει καὶ ἰχθύων εὔθηρος. ἐπεὶ τοίνυν τὸ θεῖον νεῦμα εὔυδρον καὶ εὔδενδρον καὶ εὔθηρον αὐτὸν ὄντα, εὐθήρατον δι' ἐπιπολάζουσαν τῶν οἰκητόρων

ἀσέβειαν